εὐθέως δυσκολίαν ὑπέμειναν χαλεπήν· ὁ μὲν γὰρ βασιλεὺς ἐκέλευσε κοινωνοὺς αὐτοῦ τῆς τραπέζης εἶναι τῆς ἑαυτοῦ, τῆς συβαριτικῆς ἐκείνης, καὶ ἀκαθάρτου καὶ βεβήλου, αὐτοῖς δὲ ἀπηγορεύετο τοῦτο, καὶ θανάτου χαλεπώτερον εἶναι ἐδόκει· καὶ μόνοι καθάπερ ἀρνία λύκων μεταξὺ τοσούτων ἦσαν ἀπειλημμένοι. καὶ ἀνάγκη ἦν, ἢ λιμῷ τήκεσθαι (μᾶλλον δὲ καὶ τὴν ἐπὶ θάνατον ἄγεσθαι) ἢ τῶν κεκωλυμένων ἀπογεύεσθαι ἐδεσμάτων. τί οὖν ποιοῦσιν οἱ νέοι, οἱ ἐν ὀρφανίᾳ, οἱ αἰχμάλωτοι, οἱ ξένοι, οἱ δοῦλοι, τῶν ταῦτα κελευόντων; οὐκ ἐνόμισαν ἀρκεῖν αὐτοῖς εἰς ἀπολογίαν, τὴν ἀνάγκην, οὐδὲ τὴν τυραννίδα τοῦ τὴν πόλιν ἔχοντος· ἀλλὰ πάντα μηχανῶνται, καὶ πραγματεύ-

*continuò grauem difficultatem ſuſtinuêre. Rex enim eos illius voluptuoſæ impuræq; & prophanæ menſæ ſuæ iuſſit eſſe ſocios, id quod eis interdictum erat, & morte grauius videbatur: ac ſoli velut agni in medio tot luporum erant incluſi. Neceſſe erat aut fame tabeſcere (imò verò ad mortem rapi) aut prohibita edulia deguſtare. Quid ergo faciunt iuuenes, orphani, captiui, peregrini, ſerui illorum qui hæc imperabant? non exiſtimârunt neceſſitatem ſibi ad excuſationem ſufficere, neque tyrãnidem eius, q urbem obtinebat; ſed omnia machinabantur moliebanturq;, vt peccatum effugerent, omni*